# TEZAUR LITURGIC

## 13 OCTOMBRIE
## GHERASIM ATHONITUL DE LA NAXOS

# SLUJBA SF.MUCENIC FLORENTIE DE LA TESALONIC

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 13 ΟΚΤΩΒΡΙΟΣ
# ΦΛΩΡΕΝΤΙΟΣ ΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Ἱερομονάχου Ἁγιορείτου**

## ΕΣΠΕΡΙΝΟΣ

*Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες*

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, Ἀθλητὰ Φλωρέντιε, σὺ τῶν εἰδώλων το μάταιον, στεῤῥῶς διήλεγξας, καὶ πρὸς πίστιν θείαν, τοῦ Χριστοῦ ἐστήριξας, σοφὲ Χριστιανῶν τὰ συστήματα, ὅθεν μακάριον, καθυπέστης τέλος ἔνδοξε, καὶ Κυρίῳ, χαίρων νῦν παρίστασαι.

Χριστὸν ὡς Θεὸν παναληθῆ, δυσσεβῶν ἐνώπιον, ὁμολογῶν τὰ δὲ ξόανα, θεῶν Φλωρέντιε, μυκτηρίζων Μάρτυς, καὶ ὑβρίζων ἔνδοξε, ἐδάρης καὶ τὸ σῶμα τρισόλβιε, ἐξάνθης ὄνυξιν, ἐπιβὰς πυρᾶς δὲ Ἅγιε, τὸ σὸν πνεῦμα, τῷ Χριστῷ παρέδωκας.

Ἀγάλλεται σήμερον φαιδρῶς, πόλις ἡ περίδοξος, Θεσσαλονίκη τὴν μνήμην σου, τελοῦσα ἔνδοξε, καὶ Σιὼν ἡ ἄνω, χαίρει ὡς κατέχουσα, τὸ πνεῦμά σου θεόφρον Φλωρέντιε, Χριστὸν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Φοινιχθεῖσαν ἐν αἵματι, τῆς σαρκός σου ἐνδέδυσαι, πορφυρίδα ἔνδοξε ὦ Φλωρέντιε, καὶ κορυφῇ σου διάδημα, ἐπαναδησάμενος, ἀφθαρσίας καὶ ζωῆς, τοῦ Σταυροῦ τε τὸ τρόπαιον, Μάρτυς πάνσοφε, δεξιᾷ περιφέρων ὥσπερ σκήπτρον, τῷ Χριστῷ συμβασιλεύεις, διαπαντὸς εὐφραινόμενος.

Ἀνενδότως τυπτόμενος, καὶ εἱρκτῇ συγκλειόμενος, Ἀθλητὰ Φλωρέντιε, γενναιότατε, καὶ τῷ πυρὶ δαπανώμενος, ὡς θῦμα εὐπρόσδεκτον, προσηνέχθης τῷ Χριστῷ, τῷ τῶν ὅλων δεσπόζοντι, Ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς πιστῶς ἐπιτελοῦντας, τὴν πανσεβάσμιον μνήμην σου.

Στρατιώτης ἀήττητος, ἐγνωρίσθης Φλωρέντιε, τοῦ Σταυροῦ τῷ ὅπλῳ γὰρ συμφραξάμενος, πρὸς συμπλοκὴν ἐξελήλυθας, ἐχθροῦ πολεμήτορος, καὶ κατέῤῥαξας αὐτόν, ἀριστεύσας λαμπρότατα, καὶ τὸν στέφανον, εἰληφὼς τὸν τῆς νίκης ἐκ τοῦ μόνου, ἀθλοθέτου καὶ Δεσπότου, καὶ εἰς ἀεὶ βασιλεύοντος.

*Δόξα. Ἦχος πλ. β΄.*

Χριστοῦ τὸν Ἀθλοφόρον, δεῦτε πιστοὶ εὐφημήσωμεν, Φλωρέντιον τὸν ἀήττητον Μάρτυρα. Θεσσαλονίκης τὸ κλέος, Ἐκκλησιῶν τὸ ὡράϊσμα. Τὸν συμπολίτην τῶν Ἀγγέλων, καὶ Ἀθλητῶν τὸν ὁμόσκηνον. Συμπρεσβεύει γὰρ αὐτοῖς τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως

ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς Ἱλαρόν. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (μγ´ 9-14).*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ΄ 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (ε΄15-23, στ΄1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν

ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὸν στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, θεόφρον Μάρτυς Χριστοῦ, τῶν Ἀθλοφόρων τὸ σεπτὸν ἐγκαλλώπισμα, ὁπλῖτα τῆς εὐσεβείας, ὁ τῷ Τιμίῳ Σταυρῷ, συντριβὴν εἰδώλων ἐργασάμενος, δαιμόνων ἀντίπαλε, τῶν Ἀγγέλων συνόμιλε, καὶ Δημητρίου, Μυροβλύτου ὁμόπατρις, καὶ ὁμόσκηνε, μεθ’ οὗ πρέσβευε πάντοτε, Μάρτυς ἀξιοθαύμαστε, Χριστῷ ᾧ παρίστασθε, ὑπερ τῶν πίστει τελούντων, τὴν πανσεβάσμιον μνήμην σου, Φλωρέντιε μάκαρ, καὶ τῷ κόσμῳ δωρηθῆναι, τὸ μέγα ελεος.

Στ.: *Θαυμαστὸς ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, ἀθλητικῶν ἀληθῶς, ἀγωνισμάτων τὸ εὐῶδες κειμήλιον, Σταυρὸν γὰρ ἐπ' ὤμων ἄρας, καὶ τῷ Δεσπότῃ Χριστῷ, σεαυτὸν παμμάκαρ ἀναθέμενος, σταδίῳ ἐχώρησας, ὥσπερ λέων βρυχήματι, διαπρυσίῳ, εὐσεβείας Φλωρέντιε, τοὺς κακόφρονας, καταπλήξας πανεύφημε, πάντας δὲ τοὺς θεόφρονας, στηρίξας τρισόλβιε, τοῦ Ἰησοῦ ἐν τῇ πίστει, Ὃν ὑπὲρ πάντων ἱκέτευε, τῶν πίστει τελούντων, τὴν ἁγίαν σου νῦν μνήμην, Μάρτυς ἀήττητε.

Στ.: *Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, μαρτυρικῷ ἀληθῶς, ὁ ἐξαστράπτων διαδήματι ἔνδοξε, καὶ πᾶσι τοῖς ἀπ' αἰῶνος, ἐν οὐρανίαις μοναῖς, συγχορεύων μάκαρ καὶ τὸν Κύριον, φρικτοῖς μελωδήμασι, συνυμνῶν παναοίδιμε, καὶ ταῖς ἐκεῖθεν, ὑπερφώτοις ἐλλάμψεσιν, αὐγαζόμενος, καὶ πρεσβεύων ἑκάστοτε, Μάρτυς ἀξιοθαύμαστε, θεόφρον Φλωρέντιε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ, τὴν πανσεβάσμιον μνήμην σου, ἀεὶ ἐκτελούντων, καὶ κροτούντων σου προθύμως, τὰ θεῖα τρόπαια.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἀθλητὰ τοῦ Σωτῆρος, Φλωρέντιε πανεύφημε, τῶν εἰδώλων καθαιρέτα, καὶ στήριγμα τῶν εὐσεβῶν, μὴ παύσῃ δεόμενος Χριστῷ τῷ Θεῷ ἡμῶν, ᾧ νῦν στεφηφόρος παρίστασαι, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων, τὴν πανσεβάσμιον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι τὰς δεήσεις των δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Ἀθλοφόρε Κυρίου καὶ τῆς πίστεως πρόμαχε, κλέος Ἀθλητῶν καὶ Ἀγγέλων, συμπολῖτα Φλωρέντιε, μὴ παύσῃ ἱκετεύων ἐκτενῶς, τὸν μόνον ὑπεράγαθον Θεόν, ὑπὲρ πάντων τῶν τελούντων σου εὐλαβῶς, τὴν μνήμην καὶ βοώντων σοι· δόξα τῷ σὲ κρατύναντι Χριστῷ, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

Ἀπόλυσις.

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Μέγας πρόμαχος, τῆς εὐσεβείας, καὶ ἀντίπαλος, τῆς ἀσεβείας, ἀνεδείχθης Ἀθλοφόρε Φλωρέντιε, τῶν γὰρ

εἰδώλων τὸ σέβας κατήσχυνας, καὶ τοῦ Κυρίου τὴν πίστιν ἐκράτυνας, Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θρόνος πάγχρυσος, τοῦ Βασιλέως, καὶ Παράδεισος, διηνθισμένος, ἀνεδείχθης Θεοτόκε Πανάχραντε· τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα, εὐωδιάζεις ἡμᾶς θείαις χάρισιν· ὅθεν ἅπαντες, Θεοῦ ἀληθῶς Μητέρα σε, κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ τὸν γενναῖον, καὶ Δημητρίου τοῦ κλεινοῦ Μυροβλύτου, τὸν συμπολίτην ἅπαντες πιστοὶ ἐν ᾠδαῖς, δεῦτε εὐφημήσωμεν, πρὸς αὐτὸν ἐκβοῶντες· Ἅγιε Φλωρέντιε, τοὺς πιστῶς σε τιμῶντας, ῥῦσαι κινδύνων μάκαρ χαλεπῶν, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τῆς ἀρετῆς καὶ μετανοίας τὴν τρίβον, τὴν τεθλιμμένην καὶ στενὴν καὶ τραχεῖαν, χαρμονικῶς ὁδεύειν με ἐνίσχυσον ἁγνή, πλάτυνον ἐν θλίψεσι, τὴν στενήν μου καρδίαν, πλούτισον ἐν πράξεσιν, ἀγαθαῖς τὴν ψυχήν μου, καὶ ἐκ παθῶν στενώσεως αὐτήν, εἰς πλατυσμόν ἀπαθείας ἐξάγαγε.

Ὁ Ν΄ ψαλμός.

Εἶτα, οι Κανόνες· τῆς Θεοτόκου· καὶ τοῦ Ἁγίου ὁ παρών, οὗ ἡ ἀκροστιχίς: *Πόθῳ ἀνυμνῶ τὰ τρόπαιά σου μάκαρ. Γεράσιμος.*

*Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Πιστῶς τοὺς ἀγῶνάς σου, καὶ τὰ παλαίσματα ἔνδοξε, ὑμνεῖσαι βουλόμενος, τὴν θείαν χάριν αἰτῶ, ἣν παράσχου μου, ταῖς σαῖς πρὸς τὸν Δεσπότην, πρεσβείαις Φλωρέντιε, Μάρτυς ἀήττητε.

Ὁ μέγας ὑπέρμαχος, τῆς εὐσεβείας ὑμνείσθω μοι, ὁ θεῖοςΦλωρέντιος, τῶν Ἀθλητῶν καλλονή, τὸ ὡράϊσμα, Χριστοῦ τῆς Ἐκκλησίας, πιστῶν τὸ κραταίωμα, καὶ ἐγκαλλώπισμα.

Θεόθεν δεξάμενος, τῆς σῆς ἀθλήσεως ἔνδοξε, τὸ στέφος τὸ ἄφθαρτον, καὶ σὺν Ἀγγέλοις Χριστοῦ, παριστάμενος, φαιδρῶς τῷ θείῳ θρόνῳ, ἁπάντων μνημόνευε, τῶν εὐφημούντων σε.

Ὡς μέγας ἀνέτειλας, τῇ οἰκουμένῃ πανεύφημε, φωστὴρ διαυγέστατος, ταῖς τῶν σῶν λόγων αὐγαῖς, τὰ συστήματα, πιστῶν καταφωτίζων, εἰδώλων διώδων δέ, σκότος βαθύτατον.

*Θεοτοκίον.*

Ἀνάρχου Γεννήτορος, Υἱὸν ἀσπόρως ἐγέννησας, καὶ γάλακτι ἔθρεψας, Παρθενομῆτορ Ἁγνή, Ὅνπερ αἴτησαι, ἡμῖν τοῖς σὲ τιμῶσι, πταισμάτων τὴν ἄφεσιν, δοῦναι πανάμωμε.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Ναὸς ἀνεδείχθης Ἀθλοφόρε, Τριάδα τὴν ἄκτιστον σοφέ, σαυτῷ εἰσοκισάμενος, ὑφ᾽ ἧς ἐνδυναμούμενος, ἀθλήσεως τὸ στάδιον, χαίρων διήνυσας ἔνδοξε.

Ὑπέστης πολλῶν βασάνων πεῖραν, ἀνδρείῳ φρονήματι σοφέ, Μάρτυς Χριστοῦ Φλωρέντιε, ἐν οἷς καὶ τετελείωσαι, ἐναποπνίξας αἵμασι, τοῖς σοῖς ἐχθρὸν τὸν ἀλάστορα.

Μαρτύρων τοῖς δήμοις ἠριθμήθης, καὶ πάντων ἁγίων τοῖς χοροῖς, ἐν οὐρανοῖς Φλωρέντιε, μεθ᾽ ὧν ἡμῶν μνημόνευε, τῶν ἐκτελούντων ἔνδοξε, τὴν σὴν σεβάσμιον ἄθλησιν.

*Θεοτοκίον.*

Νικᾷ πᾶσαν ἔννοιαν βροτείαν, Θεὸς ὁ παρὼν ἁπανταχοῦ, πῶς Σῇ γαστρὶ κεχώρηται; Πῶς σάρκα ἐκ Σοῦ εἴληφεν, ὁ διαπλάττων νήπια, ζωῆς ὁ πρύτανις Δέσποινα.

*Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἐπεφάνη σήμερον, τῇ Ἐκκλησίᾳ, ἡ σεπτὴ πανήγυρις, τοῦ ἀοιδίμου Ἀθλητοῦ, ἣν ἐκτελοῦντες βοήσωμεν· χαίροις θεόφρον,Φλωρέντιε ἔνδοξε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε θρόνε πύρινε τοῦ Βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων Σε, Κόρη πανύμνητε.

*ᾨδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.*

Ὥσπερ σκύβαλα ἡγήσω, κατὰ Παῦλον Φλωρέντιε, τὰ παρόντα πάντα, ἕνα Ἰησοῦν τὸν ὑπερθεον, μόνον κερδίσῃς τρισμάκαρ, οὗ καὶ ἔτυχες, παριστάμενος, θρόνῳ αὐτοῦ νῦν ἀοίδιμε.

Τῶν θαυμάτων σου τὰ πλήθη, τῶν πιστῶν τὰ συστήματα, εὐφημοῦμεν πίστει, Μάρτυς τοῦ Χριστοῦ ὦ Φλωρέντιε, καὶ σὲ τιμῶντες ἐκ πόθου, σοῦ δεόμεθα, πάσης θλίψεως, ἡμᾶς διάσωσον ἔνδοξε.

Ἀποξέσας σου χιτῶνα, τὸν φθειρόμενον τύραννος, ἀφθαρσίας ἄκων, ἔνδυμα σαφῶς ἐξυφάνατο, σοὶ Ἀθλοφόρε Κυρίου, γενναιότατε, πρὸς τὴν μέλλουσαν, μηδαμῶς ἀφορῶν ἀνταπόδοσιν.

*Θεοτοκίον.*

Τετρωμένος Σου τῷ πόθῳ, Μητροπάρθενε Δέσποινα, χαῖρέ σοι κραυγάζω, πάντων τῶν βροτῶν τὸ διάσωσμα, χαῖρε Μαρτύρων ἡ δόξα καὶ διάδημα, χαῖρε πάντιμον, Θεοῦ ἁγνὴ ἐνδιαίτημα.

*ᾨδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Ῥυόμενος φάνηθι, ἡμᾶς ἐκ πάσης θλίψεως, τοὺς ἐπιτελοῦντάς σου ἐν πίστει, τὴν σεβασμίαν Μάρτυς Χριστοῦ ἑορτήν, καὶ πόθῳ κροτοῦντάς σου ἀεί, τὰ σεπτὰ παλαίσματα, γενναιόφρον Φλωρέντιε.

Ὁ θεῖος τῆς πίστεως, ὑπέρμαχος αἰνείσθω μοι, πάντων τῶν πιστῶν ὁ ἀντιλήπτωρ, ὁ καταλύτης τῶν ἀναισθήτων θεῶν, ὁ κῆρυξ τοῦ ἀληθοῦς Θεοῦ, ὁ εχθρὸς ὁ ἄσπονδος, τῶν δαιμόνωνΦλωρέντιε.

Πυρὸς κατετόλμησας, διὰ Χριστὸν πανεύφημε, τοῦτο ὑπελθὼν καθάπερ δρόσον, δι᾽ οὗ ἀνῆλθες, πρὸς οὐρανοὺς Ἀθλητά, ἐν δόξῃΦλωρέντιε πολλῇ, πάντων τῶν τιμώντων σε, ἐκπληρῶν τὰ αἰτήματα.

Ἀξίως κεκλήρωσαι, τὰ ἄνω νῦν βασίλεια, ἅπερ ἐπηγγείλατο ὁ Λόγος, τοῦ ἀοράτου καὶ προανάρχου Πατρός, Θεοῦ ὁ Υἱός τε καὶ Θεός, τοῖς εἰλικρινῶς Αὐτόν, ἀγαπῶσι Φλωρέντιε.

*Θεοτοκίον.*

Ἰάσω τὸ σύντριμμα, Ἁγνὴ τῆς ἀνθρωπότητος, ἄνευ γεωργίου Θεοτόκε, ἀνδρὸς τεκοῦσα τὸν ἐπὶ πάντων Θεόν, καὶ μείνασα Κόρη ἀληθῶς, Παρθένος ὡς πρότερον, ὑπὲρ λόγον καὶ ἔννοιαν.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ἀπαρνησάμενος ἔνδοξε, τοῦ σώματος σαφῶς τὴν εὐπάθειαν, πρὸς τῆς ἀθλήσεως, ἀπηυτομόλησας σκάμματα, Χριστὸν ἀνακηρύττων Μάρτυς Φλωρέντιε.

Σθένους ἐξ ὕψους δεξάμενος, μαστίγων πεῖραν Μάρτυς ὑπήνεγκας, καὶ τοὺς τοῦ σώματος, ξεσμοὺς στεῤῥῶς ἐκαρτέρησας, διὰ Χριστὸν τὸν ὄντως Θεὸν πανεύφημε.

Ὁ θεῖος κήρυξ τῆς πίστεως, ὁ Μάρτυς τοῦ Χριστοῦ ὁ στεῤῥότατος, τὸ μέγα καύχημα, Θεσσαλονίκης Φλωρέντιος, τιμάσθω κατὰ χρέος ἐνθέοις ᾄσμασι.

*Θεοτοκίον.*

Ὑπὲρ νοῦν ὄντως συνέλαβες, καὶ ξένως Θεοτόκε ἐγέννησας, τὸν προαιώνιον, Θεὸν μηδὲν λυμανθείσης σου, τῆς παρθενίας Κόρη θεοχαρίτωτε.

*Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνη σήμερον.*

Φωταυγὴς ὡς ἥλιος, τῇ οἰκουμένῃ, ἡ σεπτή σου σήμερον, μνήμη ἀνέτειλε πιστούς, φωταγωγοῦσα βοῶντάς σοι· χαίροις Μαρτύρων, τὸ κλέος Φλωρέντιε.

*Ὁ Οἶκος.*

Τίς σου τὸν ζῆλον ἐπαινέσει κατ’ ἀξίαν παμμάκαρ τῆς πίστεως; ἢ τίς σου ἐξείποι τοὺς ὑπὲρ Χριστοῦ ἀγῶνας πανεύφημε; Σὺ γὰρ ὤφθης τῶν πιστῶν ἐν τῇ πίστει στήριγμα, τῶν δυσσεβῶν στηλιτευτής, καὶ τῶν εἰδώλων καταλύτης. Διὸ καὶ διὰ Χριστὸν θανατωθείς, τοὺς εὐσεβεῖς διεγείρεις κραυγάζειν σοι· χαίροις Μαρτύρων, τὸ κλέος Φλωρέντιε.

*Συναξάριον.*

Τῇ ΙΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου Μάρτυρος Φλωρεντίου.

*Ὢ θάρσος οἷον Μάρτυρος Φλωρεντίου!*
*Πρὸς τὴν φλόγα τρέχοντος, ὥσπερ πρὸς δρόσον.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Μαρτυρίου σύ, τὸν δίαυλον διήνυσας, μάκαρ Φλωρέντιε, καὶ νῦν οἰκεῖς ἐν χαρᾷ, τὰ ἄνω

βασίλεια, ψάλλων πανεύφημε· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀπελαύνονται, καὶ μόνῃ τῇ προσκλήσει σου, πνεύματα ἔνδοξε, τῆς πονηρίας σαφῶς, τὴν σὴν ὡς μὴ στέγοντα, δόξαν Φλωρέντιε, ἀξιάγαστε, τῶν Ἀθλητῶν ὡράϊσμα, καὶ ἡμῶν καύχημα μέγα.

Κόσμον ἅπαντα, καὶ τὰ ἐν κόσμῳ Ἅγιε, καθάπερ σκύβαλα, διὰ Χριστὸν τὸν Θεόν, ἡγήσω Φλωρέντιε, ὅθεν διήνυσας, τῆς ἀθλήσεως, τὸ στάδιον πανεύφημε, ἐν χαρᾷ καὶ εὐφροσύνῃ.

*Θεοτοκίον.*

Ἀειπάρθενον, ὁμολογῶ Σε Δέσποινα, ἀειμακάριστε, καὶ Θεοτόκον σαφῶς, Μητέρα γὰρ οἶδά Σε ἁγνὴ τοῦ Κτίστου Σου, καὶ Παρθένον τε, μετὰ τὸν τόκον μείνασαν, ἀποῤῥήτως Θεομῆτορ.

*ᾨδὴ η΄. Παῖδας εὐαγεῖς.*

Ῥώμην ἐνδυσάμενος ἐξ ὕψους, δαιμόνων τὰς παρατάξεις κατετρόπωσας, ἔνδοξε Φλωρέντιε, Μάρτυς καρτεῤῥόψυχε, καὶ τῶν εἰδώλων ἅπασαν, τὴν ματαιότητα, διήλεγξας, ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Γηθόμενος μάκαρ πρὸς ἀγῶνας, ἀθλήσεως Ἀθλοφόρε ηὐτομόλησας, ὅλως τὴν ὠμότητα, μὴ εἰς νοῦν βαλλόμενος, τὴν τῶν τυράννων ἔνδοξε, καὶ τὴν ἀπόνοιαν, τὸν Κύριον, ὑμνεῖτε κραυγάζων, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἔφρυξαν αἱ φάλαγγες δαιμόνων, καὶ πάντα τῶν δυσσεβῶν τε τὰ συστήματα, σοῦ τὴν γενναιότητα, ὡς γὰρ ἄλλου πάσχοντος, Μάρτυς σοφῶς διέκεισο, σπαραραττομένου σου, τοῦ σώματος, τοῖς ὄνυξι μάκαρ, θεῖε Ἀθλοφόρε, Φλωρέντιε θεόφρον.

Ῥῦσαι ἀπειλῆς πάσης τρισμάκαρ, τοὺς πόθῳ ἀνευφημοῦντάς σου τὴν ἄθλησιν, ἔνδοξε Φλωρέντιε, καὶ τῶν ἐπταισμένων ἡμῖν, τὴν λύσιν, Μάρτυς βράβευσον, ταῖς σαῖς πρὸς Κύριον, πρεσβείαις εὐπροσδέκτοις, θεόφρον, Ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἄπασα ἡ κτίσις Σὲ γεραίρει, καὶ πόθῳ Σοι ἀνακράζει Θεονύμφευτε, χαῖρε τὸ παλάτιον, Χριστοῦ τοῦ Παντάνακτος, χαῖρε Ἀδὰμ ἀνόρθωσις, καὶ ᾅδου νέκρωσις, Παρθένε, Θεοτόκε Μαρία, χαῖρε τῆς ψυχῆς μου, ἐλπὶς καὶ σωτηρία.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Σῶσον Ἀθλητά, θεόφρον Φλωρέντιε, ἐκ πάσης θλίψεως, τοὺς τὴν πανσεβάσμιον, καὶ θείαν μνήμην ἐπιτελοῦντάς σου, καὶ τῆς μελλούσης λύτρωσαι, μάκαρ κολάσεως, εὐπροσδέκτοις, θείαις ἱκεσίαις σου, πρὸς Χριστὸν τὸν φιλάνθρωπον Κύριον.

Ἴδε τὴν ἡμῶν, ἀνείκαστον κάκωσιν, καὶ θλίψιν ἄμετρον, τῶν ἀνευφημούντων σε, καὶ σπεῦσον ἔνδοξε εἰς βοήθειαν, ἀγαρηνῶν ἀφάνισον αθέων φάλαγγας,

καὶ εἰρήνην, βράβευσον τοῖς δούλοις σου, πρὸς Χριστὸν ἱκεσίαις σου Ἅγιε.

Μάρτυρες Χριστοῦ, τρισμάκαρ Φλωρέντιε, καὶ ἀξιάγαστε, ἔνδοξε Δημήτριε, ὑμῶν τὴν πόλιν ὢ μεγαλώνυμος, βαρβαρικῶν λυτρώσασθε, χειρῶν πανεύφημοι, τὴν τιμῶσαν πάντοτε τὰ τρόπαια, καὶ τελοῦσαν ὑμῶν τὴν πανήγυριν.

Οἴκτειρον ἡμᾶς, Θεὲ ὑπεράγαθε, καὶ ἀνεξίκακε, ταῖς τοῦ Ἀθλοφόρου Σου, πρεσβείαις Λόγε Πατρὸς ἀΐδιε, τοῦ διὰ Σὲ ὢ Δέσποτα, καθυπομείναντος, γηθοσύνως θάνατον ἑκούσιον,Φλωρεντίου Χριστὲ τοῦ στεῤῥόφρονος.

*Θεοτοκίον.*

Σῶσον τοὺς πρὸς Σέ, πιστῶς καταφεύγοντας, καὶ ἐκβοῶντάς Σοι· χαῖρε παμμακάριστε, τῶν λυπουμένων θεία παράκλησις, χαῖρε ἐλπὶς πανάχραντε, ἀπηλπισμένων τε, χαῖρε κλέος τῶν μακαριζόντων σε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Δεῦτε πιστοὶ συνέλθωμεν, ἐπὶ τῇ θείᾳ μνήμῃ, τοῦ πανενδόξου Μάρτυρος, σήμερον Φλωρεντίου, αὐτῷ βοῶντες ἐν πίστει· ῥῦσαι δεινῶν παντοίων, τοὺς σὲ ἀει γεραίροντας, Ἀθλοφόρε Κυρίου, καὶ τῆς Χριστοῦ, Βασιλείας πάντας τοὺς ὀρθοδόξους, ἀξίωσον πανεύφημε, ἱκεσίαις σου θείαις.

*Θεοτοκίον.*

Χαρμονικως τὸ χαῖρέ Σοι, τοῦ σεπτοῦ Ἀρχαγγέλου, οἱ λυτρωθέντες πάναγνε, τῆς ἀρχαίας κατάρας, διὰ τοῦ θείου Σου Τόκου, εὐχαρίστως βοῶμεν· χαῖρε Ἀδὰμ ἡ λύτρωσις, Θεοτόκε Παρθένε, χαῖρε σεμνή, δι᾽ ἧς ἀπηλλάγημεν τοῦ θανάτου, χαῖρε δι᾽ ἧς ἐτύχομεν, οὐρανῶν Βασιλείας.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Χαίροις, Ἀθλητὰ Φλωρέντιε, ὁ τῶν πιστῶν στηριγμός, τῶν Ἀγγέλων ἐφάμιλλε, καὶ ἐχθρῶν κατάπτωσις, χαῖρε πάντων βοήθεια, τῶν ὁλοψύχως, προσκαλουμένων σε, τῆς Ἐκκλησίας, χαῖρε ὡράϊσμα, χαῖρε συνόμιλε, τῶν Μαρτύρων ἔνδοξε μεθ᾽ ὧν Χριστῷ, ὑπὲρ πάντων πρέσβευε, τῶν εὐφημούντων σε.

Μάρτυς, Ἀθλητὰ ἀήττητε, ὑπὲρ τὸ ζῆν τὸ θανεῖν, διὰ πίστιν τὴν ἔνθεον, ἀνδρικῶς ἑλόμενος, πρὸς ἀθλήσεως σκάμματα, ἐν παῤῥησίᾳ, πολλῇ ἐχώρησας, μὴ πτήξας ὅλως, θυμὸν δικάζοντος, ὅλην τὴν ἔφεσιν, πρὸς Χριστὸν γὰρ ἔνδοξε εἶχες τὴν σήν, τὸν πανυπεράγαθον, καὶ μόνον Κύριον.

Ξίφη, οὐδαμῶς ἐπτοησαι, οὔτε ξεσμοὺς τῆς σαρκός, οὐ μαστίγων ἐπίτασιν, εἶχες γὰρ πανεύφημε, τὸν Χριστὸν ἀντιλήπτορα, ἐν τοῖς ἀγῶσι, σὲ ἐνισχύοντα, καὶ τοὺς σοὺς πόνους, καταπραΰνοντα, οὗ ἐφιέμενος, πυρὸς κατετόλμησας δι᾽ οὗ σοφέ, πρὸς Αὐτὸν ἀνέδραμες, ἐν παῤῥησίᾳ πολλῇ.

Ἔνδοξον, πορφύραν Ἅγιε, τῶν σῶν αἱμάτων ῥοαῖς, κεχρωσμένην Φλωρέντιε, ἐνδυθεὶς ἀνέδραμες, πρὸς τὰ ἄνω βασίλεια, καὶ νῦν σὺν θείοις, εὐφραίνῃ Μάρτυσι, καὶ σὺν Ἀγγέλων, χορεύεις τάξεσι, φέγγει λαμπόμενος, Τρισηλίῳ πάντοτε μεθ' ὧν Χριστῷ, ὑπὲρ πάντων πρέσβευε, τῶν εὐφημούντων σε.

*Δόξα. Ἦχος πλ. α΄.*

Δεῦτε φιλομάρτυρες πάντες, τὸν Ἀθλοφόρον τοῦ Χριστοῦ,Φλωρέντιον τὸν πανένδοξον, κατὰ χρέος εὐφημήσωμεν. Χαῖρε, αὐτῷ βοῶντες, Θεσσαλονίκης τὸ καύχημα. Χαῖρε, τοῦ νοητοῦ στερεώματος τῆς Ἐκκλησίας, ὁ φαιδρὸς ἑωσφόρος. Χαῖρε, ὁ συμπολίτης τῶν Ἀγγέλων, και τῶν Μαρτύρων συνόμιλος. Χαῖρε, ὁ τῷ ἀστέκτῳ θρόνῳ τοῦ Θεοῦ, ἐν παῤῥησίᾳ παρεστηκώς, καὶ ὑπὲρ πάντων πρεσβεύων, τῶν πιστῶς ἐπιτελούντων, τὴν πανσεβάσμιον μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος, τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγήν τῶν ψυχῶν ἡμῶν.

*Μεγαλυνάριον.*

Χαίροις τῶν Μαρτύρων ἡ καλλονή, καὶ τῶν Ὀρθοδόξων, Ἀθλοφόρε ἡ χαρμονή, χαίροις συμπολῖτα, τοῦ θείου Δημητρίου, χαίροις Θεσσαλονίκης κλέος Φλωρέντιε.